ἔτεμέ τε καὶ ἐβάδισεν. Εἰ δ' ἄλλην τις βαδίζειν ἐθέλοι, οὐχ οἷόν τε τὴν ἣν ἐκεῖνος ἔτεμε καὶ βαδίζων διετέλεσεν εὑρεῖν. Τίνα δ' ἐκεῖνος τῶν ὁδῶν περιπατήσας ἐφάνη; Τὴν στενὴν καὶ τεθλιμμένην. Τί δήποτε; Ὅτι αὕτη μόνη, ὥς αὐτός φησιν, εἰς βασιλείαν ἀπάγει, τῶν ἄλλων πασῶν εἰς ἀπώλειαν ἀπαγουσῶν. Πῶς δ' οἷόν τε ταύτην βαδίσαι τοὺς βασιλεί(ας) ἐπιγείου ἀντέχεσθαι βουλομένους; Ἀλλ' εἴποι τις ἂν ὑμῶν ἐρωτῶν, πάντες οἱ ἀντιποιούμενοι βασιλεί(ας) ἐπιγείου ἐκπίπτουσι τῆς οὐ(ρα)νίου; Ἀριθμησάτω τοὺς βασιλεῖς ἀπαξάπαντας ὁ τοιοῦτος, καὶ εἰ εὕροι αὐτῶν τινα τοῖς ἁγίοις συναριθμούμενον ἢ ὅλως ἐν τοῖς ἐπαινουμένοις εἰλικρινῶς, καλὸν ἄρα ἡ βασιλεία, εἰ δὲ τοῦτο οὐκ ἂν εὕροι ζητῶν ῥαδίως, πῶς οὐχὶ κακὸν ἡ βασιλεία; Μᾶλλον δ' οὐ κακὸν ἡ βασιλεία, ᾗ βασιλεία καθ' ἑαυτήν, εἰς κακὸν δὲ τοὺς ταυτησὶ ἀντεχομένους ὠθεῖ, καὶ μὴ κακὴ οὖσα καθ' ἑαυτήν. *Οὐ γὰρ οἷόν τε τοὺς βασιλεῖς, βασιλεί(ας) τε ὁμοῦ καὶ ἀρετῆς ἐχομένους διατελεῖν.* Καὶ τοῦτό ἐστι τὸ τὴν βασιλείαν κακὸν εἶναι ποιοῦν, ἢ οἰκειότερον εἰπεῖν, τοὺς αὐτῆς ἐφιεμένους. Εἰ γὰρ ἦν διὰ ταύτης σωθῆναι, τί δήποτε ὁ νομοθέτης τε καὶ νομοδότης Χριστός, βασιλεὺς χειροτονηθῆναι πρὸς τῶν Ἰουδαίων ζητηθείς, οὐ προσήκατο ταύτην, ἀλλ' ἀνεχώρησε, τοὺς αὐτὸν ἐλθόντας λαβεῖν καὶ ποιῆσαι βασιλέα φυγών; Εἰ δ' ἐκεῖνος τὸν τῶν πραγμάτων ὄχλον φυγεῖν ἐθέλων τυχὸν οὐκ ἠνέσχετο βασιλεί(ας) ἐπιγείου τιμὴν ἀναδέξασθαι, τίνος ἕ | νεκα οὐκ ἐνομοθέτησε καλὸν εἶναι τὴν βασιλεί(αν), καὶ τοὺς ταύτης ἐφιεμένους ἢ ἀντιποιουμένους σωθῆναι οὐκ ἔνι; Εἰ δὲ φαῖεν ἀνθυποφέροντες, ὡς εἰ οὐ καλὸν οὐδὲ λυσιτελὲς ἡ βασιλεία, κατά γε καὶ τὸν σκοπὸν τοῦ Κ(υρίο)υ, τί δή ποτε καὶ τοῖς ἡμετέροις πολὺν ἤδη χρόνον ταύτην ἔχειν συγκεχώρηκεν; Οὐχ ὡς ἀγαθόν τι καὶ πρὸς σ(ωτη)ρίαν αὐτοῖς συμβάλλουσαν, οὐδὲ προηγουμένως βουλόμενος, ἀλλ' ἑπομένως. Ὡσάν, οἶμαι κἂν τούτῳ τὴν γνώμην αὐτῶν βασανίσας δοκιμάσειεν, ὁποία τίς ἐστι, μᾶλλον δ' ὡς ἂν πᾶσι φανείη ἥτις ἦν, καὶ ἔκδηλος γένοιτο, οὐχ οἷόν τ' ὂν ἄλλως ἢ ταύτῃ γε φανῆναι. Οὐδὲ γὰρ ἂν ἡ μοχθηρία τοῦ πρώτου ἀν(θρώπ)ου κατεφάνη, μὴ τοῦ Θ(εο)ῦ τῶν ὧν μεταληπτέον καὶ οὐ μὴ προσαπτέον τὴν ἐξουσίαν δεδωκότος αὐτῷ. Ἡ γὰρ ἐξουσία καὶ τὸ ἄνετον διαδείκνυσιν, ὡς ἐπὶ τὸ πλεῖστον, τὴν προαίρεσίν τε καὶ γνώμην ὁποία ταῖς ἀληθείαις τυγχάνει οὖσα, τῶν ἄνευ ταύτης χρηστῶν δῆθεν φαινομένων τοῖς πολλοῖς, καὶ ἀρετῆς ὅτι μάλιστ' ἀντιποιουμένων. Ὡς δ' εἶδε, μᾶλλον δ' ὡς καὶ σφίσιν

φ. 849 a (margin, at «ἠνέσχετο»)

1. Οὐχ' οἷοντε.
10. Ῥαδίως. 11. ἢ.
13. Οἷοντε. 21. τοὺς μὴ ταύτης.
22. Αὐθυποφέροντας.
28. Ταύτη.

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2008

αὐτοῖς διεγνώσθη τοῖς μὴ λίαν εὐαισθήτως ἔχουσι κενοδοξί(ας) τε καὶ τῆς ἄλλης κακί(ας) μᾶλλον ἢ φόβου θ(εο)ῦ καὶ τῆς ἄλλης ἀρετῆς ἡττηθέντας τοὺς ἡμετέρους ἐσχηκότας τὸ βασίλειον, ὡς τάχιστ' ἀφεῖλεν ἀπ' αὐτῶν, ὃ ἀπωλεί(ας) οὐχ ἧττον ἢ σ(ωτη)ρίας ὄργανον ἦν αὐτοῖς. Ὡς γὰρ παιδὶ νηπίῳ καὶ ἀναισθητοῦντι, ξίφος ἢ μάχαιραν τὸν π(ατέ)ρα ἢ τὴν μ(ητέ)ρα αἰτοῦντι, οὐκ ἂν δοῖεν τὴν ἀρχὴν ῥαδίως, ἀλλ' ἀπωθοῦνται τουτονὶ καὶ ἀναβάλλονται, παραλογιζόμενον, ἐπιμένοντι δ' εὐτόνως καὶ ὑποκλαυθμηρίζοντι παρέχουσι καὶ ἄκοντες, εἶθ' ὡς μέλλοντα δι' ἐκείνων τὸν παῖδα σφαγήσεσθαι ἴδοιεν, ἁρπάζουσι ταυτὶ τῶν χειρῶν ἐκείνου, πρίν τι κακὸν παθεῖν, τὸν αὐτὸν τρόπον καὶ ὁ τῶν ὅλων πατὴρ τοῖς ἡμετέροις πεποίηκε βασιλεῦσιν. Ἔδωκε γὰρ αὐτοῖς, παίδων νηπίων δίκην αἰτοῦσι, τὴν βασιλείαν. Βλαβέντας δὲ καὶ δὴ βλαπτομένους οὐχ ἥκιστα δι' αὐτῆς ἢ χωρὶς ταυτησὶν ἰδών, καὶ μάλιστα τὰ ἐς ψυχήν, τάχιστ' ἀφήρπασε ταύτην αὐτῶν, γυμνοὺς ἐπιγείων ὅπλων καταλιπὼν αὐτοὺς εἶναι, τὸ ἀρκεῖν αὐτοῖς ἡγησάμενος τὴν ἣν δέδωκε χάριν, τὴν ἐν τῇ ἡμετέρᾳ πληρουμένην ἀσθενείᾳ. Πρὸς δὲ τοῖς εἰρημένοις, διὰ ταῦθ', ὑπολαμβάνω, τὴν βασιλείαν τοῖς ἡμετέροις ὁ Θ(εὸ)ς ἤδη δέδωκεν, ὡς ἂν τὴν ὀρθοδοξίαν ἀρτιπαγῆ τέως οὖσαν, ἐς τἀσφαλέστερον παγεῖσαν, ἀσάλευτον μένειν. Ἐπεὶ δὲ τοῦτ' ἐγένετο, οὐκέτι χρεία ταύτης ἦν τοῦ λοιποῦ. Τί γὰρ τέκτονος ἢ οἰκοδόμου ἔτι δεῖ τῆς οἰκίας ἀπαρτισθείσης; Ἀλλ' οὐ διὰ ταῦτα, καὶ τῶν ἀναγκαίων θήσειέ τις εἶναι τὴν βασιλείαν. Οὐ γὰρ ὥσπερ τέκτονος, ἢ οἰκοδόμου χωρὶς οἰκίαν γενέσθαι τῶν ἀμηχάνων ἐστίν, οὕτω καὶ βασιλεί(ας) ἄνευ, τὴν ὀρθοδοξίαν | παγῆναι. Οὐδὲ γὰρ ὡς μὴ οὖσαν πρότερον φ. 349β τὸ παράπαν, ἢ ὡς μὴ δυνατὸν ὄν, εἰς φῶς οἷον ἤγαγεν, ἀλλ' ὡς οὖσαν, καὶ οὐκ ἀμυδρῶς φρυκτωροῦσαν δεξαμένη αὐτη, μᾶλλον ἐπιδοῦναι ταύτην αἰτία κατέστη. Ἥτις καὶ ἕως ὀρθοδοξεῖν προῄρητο, κατευοδοῦτο, καὶ οἷον ἤνθει τὸ κράτος αὐτῆς, ἡνίκα δὲ τῆς ὀρθοδοξίας, καὶ τῆς καταλλήλου τῇ ὀρθοδοξίᾳ πλεῖστον ὅσον ἐξέκλινεν ἀγαθοεργ(ίας), ταπεινοῦσθαι ἤρξατο, καὶ τέλεον ἀφανισθεῖσα πέπαυται, εἰς τυράν(νων) χεῖρας μετελθοῦσα, δεικνύντος, οἶμαι, τοῦ Θ(εο)ῦ, ὡς μᾶλλον διὰ τῆς τουτωνὶ τυραννίδος, ἢ τῆς ἐκείνων ἐπάρσεως, σωθῆναι δύνανται οἱ ὀρθόδοξοι. Πλείους γάρ, ὡς ἐμαυτὸν πείθω, νῦν ἢ τότε σώζονται. Εἰ γὰρ αἱ θλίψεις πρὸς Θ(εὸ)ν συνάγουσιν, αἱ ἀνέσεις πάντως Θ(εο)ῦ χωρίζουσιν. Ἡ γὰρ βασιλεία οὐ θλῖψιν ἀλλ' ἄνεσιν τοῖς ἔχουσι προξενεῖ. Καὶ μηδεὶς λεγέτω, ὡς ὅπου βασι-

8. Ῥαδίως...ἀπωθοῦντας...παραλογιζόμενοι.
11. Ἔδωκεν.
13. Ταυτισίν. 15. ἡγήσασθαι.
25. Φρικτοροῦσαν.
30. Δεικνῦντος ...τωνί.
32. Θλίψιν.



ΕΡΓΑΣΤΗΡΙΟ ΨΗΦΙΟΠΟΙΗΣΗΣ ΦΙΛΟΣΟΦΙΚΗΣ ΣΧΟΛΗΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟΥ ΙΩΑΝΝΙΝΩΝ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2008

λεία, ἐκεῖ πάντως καὶ σ(ωτη)ρία καὶ ἡ ὀρθοδοξία. Τοὐναντίον δὲ ἅπαν ἐστίν. Εἰ δέ τινες καὶ τὴν βασιλείαν ἔχοντες ἐσώθησαν ἢ σώζονται, ἀλλ' ὀλίγοι πάνυ καὶ εὐαρίθμητοι καὶ τῷ καταφρονῆσαι τῶν τῆς βασιλείας ἀγαθῶν καὶ ἀπολαύσεων. Ἀμφοτέρων γὰρ ἀντέχεσθαι οὐχ οἷόν τε, κἂν εἰς πάνυ πολλὰ φιλονεικεῖν ἐθέλοι τις. Καὶ τοῦτο δύναταί τις εἰδέναι καλῶς, τὰς βασιλεί(ας) πάσας τοῦ κόσμου, τάς τε παρῳχηκυί(ας) καὶ τὰς νῦν οὔσας, ἐν νῷ βαλόμενος καὶ ταῖς ἐκείνων ἱστορίαις περιτυχών. Αἵ τε γὰρ αἱρέσεις καὶ τἄλλα κακὰ ἢ διὰ τῶν βασιλέων ἢ ἐν τῷ καιρῷ καὶ ταῖς ἡμέραις αὐτῶν ἐφύησάν τε καὶ φύονται ὅσαι ἡμέραι. Ἡ γὰρ ἄνεσις τοιαῦτ' ἀποτίκτειν πέφυκε τέκνα βαβυλώνια. Τί γὰρ οὐχὶ τῶν ἀθεμίτων διετέλουν πράττοντες οἱ ἡμέτεροι τὸ βασίλειον ἔχοντες; Ἀνθ' ὧν καὶ εἰς χεῖρας παρεδόθημεν, δεῖ γὰρ ἀψευδεῖν, τῶν βαρβάρων, ἀναξίως τῶν ὧν ἠξιώθημεν ἀγαθῶν πολιτευσάμενοι. Οὐχ ὡς τῆς ὀρθοδοξί(ας) ἐκπεσόντες, ἢ τῶν ὀρθῶν δογμάτων, ὥς τισι δοκεῖ, ἐπεμβαίνειν ἡμῖν ἐθέλουσι σὺν οὐδενὶ δικαίῳ, ἀλλ' ὡς μὴ ὀρθῶς πολιτευόμενοι τὴν βασιλείαν ἔχοντες. Ὁ γὰρ Θ(εὸ)ς καὶ τούτου ἡμῖν μετέδωκεν ἀγαθοῦ, οὐχ ὡς τοσοῦτον εἰς σωτη(ρίαν) ἡμῖν συμβάλλοντος, ἀλλ' ὡς μὴ ἔχοιμεν εἰπεῖν τιν' ἀπολογίαν, ὡς οὐ φιλεῖ δῆθεν ἡμᾶς ὑπερβαλλόντως. Κακῶς δ' ὅμως τῷ φαινομένῳ τουτῳί, καὶ δοκοῦντι μόνον, οὐκ ὄντι δέ, χρησάμενοι ἀγαθῷ, καὶ τούτων οὐχ ἧττον οἷς ὠφείλετο νύκτωρ καὶ μ⟨ε⟩θ' ἡμέραν Θ(ε)ῷ μόνῳ προσεδρεύειν, καὶ μὴ πάντα λίθον κατὰ τῆς αὐτ(ῶν) σ(ωτη)ρίας κινεῖν, ταύτῃ γε ἡμᾶς παθεῖν συγκεχώρηκεν, ὡς ἂν διὰ τοῦ κακοῦ γοῦν τἀγαθὸν ὃ ἔχοντες ἀπωλέσαμεν, οὐ δεόντως χρησάμενοι τούτῳ γ' ἐς νοῦν ἐμβάλοιμεν. Μᾶλλον δ' ὅπως μὴ ἄλλο τι τοῦ λοιποῦ
φ. 350a ἀπαιτῶμεν τὸν θ(εό)ν, ἢ ἵλεω | τούτου γε τυχεῖν. Μηδὲ τὴν ἐπίγειον, τὴν καπνοῦ δίκην λυομένην καὶ πρόσκαιρα σαίνουσαν, ἀλλὰ τὴν οὐ(ρά)νιον, ἧς οὐκ ἔστι τέλος καὶ ἀεὶ ἐφήδεσθαι ποιοῦσαν, ζητεῖν βασιλείαν. Ἀλλ' ἡμεῖς κἂν τοῖς δεσμοῖς, ἢ ὅ φησιν ἡ θεία γραφή, ἐν χειροπέδαις σιδηραῖς ὄντες, οὐ μόνον οὐκ ἐσωφρονήσαμεν, ἀλλὰ καὶ ὡς οὐδὲν παθόντες δεινὸν διεκείμεθα, καὶ βασιλεί(ας) αὖθις τυχεῖν διενοούμεθα. *Καί μοι θαυμάζειν ἔπεισι, πῶς οὐκ ἐλογίσαντο, ἢ κατὰ νοῦν ἔθεντο, οἱ τοιοῦτόν τι βουλευσάμενοι, ὡς ἀδυνάτων ἐρῶσιν· εἰ γὰρ ἔχοντες ἀπώλεσαν ταύτην, μὴ δυνηθέν-*

---

2. Ἔχωντες.
4. Οἷον τε.
6. Παρωχικυί(ας).
7. Οὖσας.
8. Τᾶλλα.
23. Ἀπολέσαμεν.
24. Τούτω.
31. Τοιούτόν τι.

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2008

*ες τοὺς νῦν κρατοῦντας, καὶ ταῦτα ὀλίγους ὄντας, νικῆσαι, ἢ αὐτοὺς ἀπώσασθαι, πῶς νῦν ὀλίγοι ὄντες, καὶ ὅπλων ἀμοιροῦντες, καὶ τῆς ἄλλης ὁμοῦ παρασκευῆς, τοὺς πάντας σχεδὸν ἀριθμοὺς ὑπερακοντίζοντας, καὶ δύναμιν ὅτι πλείστην ἔχοντας, καὶ πῦρ οἷον πνέοντας, νικῆσαι δεῖν ᾠήθησαν οἱ ἄφρονες; Ποίοις ὅπλοις, ποίᾳ δυνάμει, τίνι πλήθει, τίσι καλοῖς συμβούλοις,* ὧν ἄνευ οὐδὲν γενέσθαι τῶν δεόντων οἷόν τε, θαρροῦντες τοιοῦτόν τι διενοήσασθε, ὦ ἀνόητοι; *Οὐχ ὁρᾶτε ὡς πάντες τῶν κρατούντων ὑποκύπτουσι τῷ τυράννῳ τουτῳί, δεδοικότες αὐτὸν ἐς τὰ μάλιστα, καὶ ταῦτα δύναμιν ἔχοντες πολλὴν εἰς τὸ περιγενέσθαι τούτου, μόνον εἰ βουληθεῖεν; Τί δῆτ' οὐχί, ὅπερ ὑμῖν οὕτως ἀνοήτως πέπρακται, ποιοῦσιν; Οὐχ ὅπλων εὐποροῦσιν; Παντὸς μᾶλλον.* Οὐ στρατιωτῶν; Οὐ πλούτου; Οὐ πλοίων; Οὐκ ἂν ἔχοι τις τοῦτ' εἰπεῖν. Τί δαί, συμβούλων ἀποροῦσιν ἀγαθῶν; Καὶ ποῖος αὐτῶν οὐκ ἀγαθὸς σύμβουλος, ἢ τῇ σοφίᾳ οὐ κεκόσμηται; Διατί οὖν οὐ τοιοῦτόν τι ποιῆσαι ἠβουλήθησαν, ὅπερ ὑμεῖς οὐδὲν τῶν εἰρημένων κεκτημένοι, ὅτι μὴ τἀναντία πάντα; Τοῦ τέλους δήπου τὴν ἔκβασιν σκοποῦσι, καὶ διὰ ταῦτ' οὐ βούλοντ' ἀπροβούλευτα τοιούτοις ἐγχειρῆσαι πράγμασι, κίνδυνον ἔχουσι μέγιστον, καὶ αἰσχύνην ὅτι πλείστην.

*Ῥάβδοις ποιμαντικαῖς, καὶ γεωργικοῖς βούπληξιν, ὦ οὗτοι, εἰς τὸ τοὺς ἐχθροὺς καταγωνίσασθαι, πῦρ οἷον ἀποπνέοντας, καὶ ὅπλοις ἰσχυροῖς καθωπλισμένους ἄοπλοι, καὶ ἄνιπποι ἐφ' ἵππους, καὶ θώραξι περιπεφραγμένους γυμνοί, καὶ τέχνην πολεμικὴν ἠσκημένους, οὐδ' ὄναρ τὸ πολεμεῖν ἰδόντες, ἐξέρχονται; Τῆς ἀβελτηρί(ας), τῆς παραπληξίας, τῆς μεγίστης μανίας!. Εἰ τοιοῦτόν τι μανιῶδες ἐπῆλθεν ὑμῖν διαπράξασθαι, νήφοντας γοῦν, ἀλλὰ μὴ τῇ μέθῃ ἐσκοτωμένους, τοῖς ἐχθροῖς ἐπελθεῖν ἔδει. Μεθύοντες ἄν(θρωπ)οι καὶ | ἄοπλοι τὸ παράπαν εἰς τὸ πολεμεῖν ἢ κατὰ τῶν ἐχθρῶν ἐπέρχονται;* φ. 350β *Πλὴν ἀλλὰ τοιοῦτον ἦν ὑμῖν τὸ ἔθος ἀεί, μετὰ τὴν μέθην περὶ τοιούτων καὶ τηλικούτ(ων) ὑπερφυῶν πραγμάτων βουλεύεσθαι.* Μεθύων ἄνθρωπος οὐχ ὅτι γε περὶ τοιούτ(ων), ἀλλ' οὐδὲ περὶ τῶν οὐτιδανῶν καὶ οὐδενὸς ἀξίων ἀσφαλῶς βουλεύσαιτ' ἄν. Εἰ γὰρ τῆς βασιλείας τῶν οὐ(ρα)νῶν ἀποτυγχανουσί τε καὶ ἐκπίπτουσι μέθυσοι, κατὰ τὴν τοῦ Παύλου φωνήν, σχολῇ γε ἂν τεύξαιντο ῥᾳδίως τῆς ἐπιγείου μετὰ τῆς μέθης. Πλὴν ἀλλ' ὑμεῖς χυδαῖοι καὶ βάναυσοι ὄντες καὶ οὐδεμίαν πεῖραν ἔχοντες τοιούτων πραγμάτων οὐχὶ οἷοί τε ἦτε τὸ δέον ξυνιέναι.

*Ὁ γοῦν Διονύσιος ὁ εἰς ταῦθ' ἕλκων ὑμᾶς, πῶς οὐ ξυνῆκε τὸ δέον, πολὺν περινοστήσας κόσμον καὶ ἐν τοῖς τοιούτοις κακοῖς ἐγγεγηρακώς; Ἀλλ'*

---

1. Αὐτῶν. 16. τούτοις.
18. Ποιμαντικοῖς. Πασχίδ. ποιμαντικαῖς.
19. Καθοπλισμένους. 25. ἀπέρχονται. 30. σχολῇγε οὐκ ἄν.
35. Ἐγγεγηρακώς.

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2008

ἴσως κἀκεῖνος ἠγνόησε τὸ ξυνοῖσον ὑμῖν ἢ τὸ βλάψον, καθ' ἃ δήπου καὶ ἠγνόησε, τὰς φρένας ἀπολέσας παντάπασι. Τοῦ δὴ χάριν ἐμοῦ γοῦν οὐκ ἠκούσατε, πολλάκις ὑμῖν συμβουλεύσαντος, ὡς ἀδυνάτων πραγμάτων ἐπιθυμεῖτε; Οὐκ ἠκούσατέ μου διαμαρτυρομένου πλειστάκις, ὡς ἐπειδὰν ἐν τοῖς τοιούτοις τῶν μοναχῶν τις τύχῃ ὤν ποτε, οὐ μόνον οὐ κατευοδοῦται, ἀλλὰ καὶ εἰς τὸ χεῖρον προκόπτει, καὶ οἱ συνόντες αὐτῷ δυσπραγοῦσιν εἰς τὰ μάλιστα; Τίνος ἕνεκα; Ὅτι οὐ τοιαῦτα πράττειν τοῖς μοναχοῖς ἔξεστιν, ἀλλὰ τῇ προσευχῇ μόνῃ καὶ τῇ δεήσει προσέχειν καθῆκόν ἐστι. Πλὴν ἀλλὰ πλατύν μου κατεχέετε γέλωτα ταῦθ' ὑμῖν διεξιόντος, καὶ ὡς ἕνα τῶν ἀφρόνων καὶ μαινομένων, ἄφρονες καὶ μαινόμενοι ὄντες, ἡγεῖσθέ μ' εἶναι. Ἄρτι γ' ὅμως πείσθητε, τίνες ἡμῶν οἱ ἄφρονες, τῶν πραγμάτων οὐχ ὡς ὑμῖν ἐδόκει, ἀλλ' ὡς ἐγὼ ἠγόρευον ἀποβάντων. Ἃ γὰρ ὑμῖν ἀπέβη νικηθεῖσιν ἤδη, πάντ' ἔφθην εἰπὼν ὁ ἄφρων, ὡς ὑμῖν ἐδόκει καὶ δὴ καὶ ἀνυποστόλως ἐλέγετο. Τί ἔδει ἀδυνάτων ἐρᾶν, ἀνέφικτά τε διώκειν; Οὐ λυσιτελέστερον ἦν ὑμῖν ἐμαῖς ἐφησυχάζειν συμβουλαῖς, καὶ μή μου τὸ νέον ἐξουθενεῖν, μηδὲ τὸ ψοφοδεὲς ἀτιμάζειν καὶ τὸ ξένον ῥᾷστα περιφρονεῖν; Πλὴν οὐ μόνον οὐκ ἐπείθεσθε τούτοις, ἀλλὰ καὶ ὡς λῆρος ὑμῖν ἐδόκει ταυτί. Καὶ τὸ δὴ χεῖρον, οὐδὲν ὑποστελλόμενοι, περιάπτειν μοι καὶ προστρίβειν ἠβουλήθητε καὶ δὴ καὶ εἰς μέγα τὴν φήμην ἤρατε, ὡς δῆθεν τὸν πρὸς τῶν ἀσεβῶν σεβόμενον, τὸν μαινόμενον ἐκεῖνον καὶ πάσης ἀκαθαρσί(ας) γέμοντα στέργειν τε καὶ ἀγαπᾶν μᾶλλον ἢ τὸν Χ(ριστὸ)ν αὐτόν, τὸν μονογενῆ υἱὸν τοῦ Θ(εο)ῦ. Τοιαῦτα δὲ
φ. 351α λέγειν κατ' ἐμοῦ οὐκ ᾐσχύνεσθε, τῇ μέθῃ καὶ τῇ ἄλλῃ σκοτού | μενοι ἀπαιδευσίᾳ. Οὐ μόνον δὲ τούτοις οὐκ ἠρκέσθητε κατ' ἐμοῦ, ἀλλὰ καὶ ἐγκάθετόν τινα εἰς τὸ ἀνελεῖν με πεπόμφατε, διὰ τὸ μὴ βουληθῆναι ὅλως ὑμῖν συνθέσθαι ἢ συνέψεσθαι τοῖς κακίστοις ὑμῶν βουλεύμασι· τουτὶ δὲ πεποιηκέναι προήχθητε ταῖς παραλόγοις συμβουλαῖς τοῦ ἀθλίου ἐκείνου πεισθέντες Διονυσίου, ᾧ καὶ φθονεῖν με κατεψεύδεσθε, σοφῷ γε δῆθεν ὄντι, καὶ ἐς τὰ πάντα μακρῷ μου καλλίονι, καὶ διὰ ταῦτα μὴ βούλεσθαί μ' ὑπείκειν αὐτῷ. Ἀλλὰ πάντα μᾶλλον ἢ τὰ τοιαῦτα εἴη ἂν ἀληθῆ, ὦ βέλτιστοι. Οὐ γὰρ φθονῶν, ὡς ὑμεῖς ᾤεσθε, τουτονὶ ἀπεστρεφόμην, ἀλλὰ τὸν νῦν ὑπ' αὐτοῦ τε καὶ ὑμῶν γεγονότα κάκιστον ὄλεθρον ὑφορώμενος καὶ ὑπονοῶν. Πῶς γὰρ ἂν σοφῷ γε ὄντι ἐφθόνησα, ὃς νύκτωρ καὶ μεθ' ἡμέραν οὐ διαλιμπάνω τὸ ἡμέτερον γένος καὶ ἐμὲ αὐτὸν κλαίειν, τῇ ἀμαθίᾳ καὶ τῇ ἄλλῃ ἀπαιδευσίᾳ συνόν τε καὶ συζῶν ὁρῶν; Καὶ μοι δι' εὐχῆς ἀεί, πάντας εἶναι σοφοὺς ἐμοῦ ἄνευ. Εἰ γὰρ

---

1. Κᾀκεῖνος·
8. Προσευχῇ. Καθῆκον ἐστί.
10. Ἡγεῖσθαι.
12. Οὐχ' ἀγάρ.
22. Ἠσχύνεσθε. 27. ὃ
34. Εἰκοσιφ. (Πασχίδης σ. 96): συνόντι καὶ συζῶντι.

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2008

τουτὶ γ' ἦν, οὐδ' ἔγωγε ἀνόνητος ἂν ἦν. *Κἀκ τούτου τε ξυνιέναι ὑμᾶς ἐχρῆν, ὡς οὐχ ἡττημένος τοῦ φθόνου τυγχάνω γε ὤν, ἐκ τοῦ μὴ διαλιμπάνειν ὅσαι ἡμέραι μεθ' ὅσης τῆς προθυμί(ας), καὶ δὴ καὶ ἀμισθὶ σχεδόν, τοῦ ὀλίγου ἐκείνου οὗ εὐπορῶν τυγχάνω μαθήματος τοῖς βουλομένοις μεταδιδόναι.* Εἰ γὰρ ἐφθόνουν τινί, ἢ ὅλως φθόνου ἴχνος ἐνῆν μοι, οὐδενὶ κατεδεξάμην ἂν τούτου μεταδιδόναι, καὶ ταῦτ' ἄνευ οὑτινοσοῦν κέρδους. *Ὥστε μάτην καὶ τουτὶ τὸ βέλος ἔρριπται ὑμῖν κατ' ἐμοῦ. Ταυτὶ δ' ἅπαντα καθ' ἡδονὴν ἂν ἦν ἐμοὶ εἴγε μὴ ἐπράξατε τοσοῦτον ἄγος, καὶ φόνων τοσούτων οὐκ ἐγένεσθε παραίτιοι, καὶ ζημί(ας) τοσαύτας οὐκ ἐπροξενήσατε τοῖς ἀναιτίοις τῶν Χριστιανῶν. Νυνὶ δέ, πρὸς τοῖς εἰρημένοις ἅπασι, καὶ τὸ ἐλεύθερον ἡμῶν δεδουλώκατε καὶ αἰσχύνην, ὅσην οὐδ' ἔστιν εἰπεῖν, ἡμῶν κατεχέατε. Καὶ τὸ πολὺ τούτων χεῖρον, ὅτι καὶ εἰς τὸ ζῆν ὁ κίνδυνος ἡμῖν περίεστι.*

*Τίνα λόγον δώσετε τῷ Θ(ε)ῷ, τοσούτων αἴτιοι γενόμενοι κακῶν;* Πῶς οἴεσθε τῶν ἀπαραιτήτων ἀπαλλαγῆναι κολάσεων, τοσοῦτον ῥοῦν αἱμάτων τε καὶ δακρύων ἐκχυθῆναι γεγονότες αἴτιοι; Αὕτη ἦν ἡ τῶν δεινῶν ἀπαλλαγή; Αὕτη ἡ βοήθεια; Τουτὶ ἦν τὸ γενναῖον ὑμῖν κατόρθωμα; *Τίνι σαφεῖ σημείῳ ἢ δυνάμει στερρᾷ πεισθέντες τουτὶ πεποιήκατε τοὐγχείρημα; Τοῖς τοῦ ἐμβροντήτου Διονυσίου κληδονισμοῖς τε καὶ οἰωνισμοῖς πάντως, καὶ δὴ καὶ μαντεύμασι. Καὶ γὰρ ἦν αὐτῷ ἡ σοφία ἅπασα, | δι' ἣν παρὰ τῶν* φ. 351β *ἀφρόνων ἐθαυμάζετο, ἐν τοῖς τοιούτοις. Οὗ δὴ χάριν καὶ κατὰ τὴν ἣν ἔμελλε νύκτα (οὐ γὰρ μεθ' ἡμέραν τὸ νυκτὸς τῷ ὄντι ἔργον ἐκεῖνο παρ' ὑμῶν ἐπράχθη) τὸ ἄγος τουτὶ διαπράξασθε οἰωνισάμενος Διονύσιος, ὡς οἱ ἑωρακότες διεβεβαίουν, νίκης ἔδοξε τετυχηκέναι, καὶ ὑψηλότερον φανήσεσθαι, πρὸς δὲ καὶ αὐτὸν βασιλέα θαυμάσαντ' ἀναστήσεσθαι τοῦ θρόνου. Ταυτὶ δὲ καὶ σκότους ἦν ἀνάπλεω καὶ ἀλήθειάν τινα λοξῶς ὑπεδείκνυε. Νίκης γὰρ τῷ ὄντι τετύχηκεν, οὐχ ὡς νικήσας αὐτός, ἀλλ' ὡς νικηθείς. Τὸ δὲ αὐτοῦ δέρμ' ἀποδαρεὶς παρὰ τῶν ὧν ἐκεῖνος ἤλπιζε περιγενέσθαι, βιαίως τὸ ζῆν ἀπορρήξας, πάντων ὑψηλότερον τοῖς πᾶσι διεδείχθη τὸ ἀποδαρὲν ἐκεῖνο πανάθλιον δέρμα, πλησθὲν ἀχύρων, κἀπὶ σκόλοπός τινος ἀνασκολοπισθέν, καὶ τὴν πόλιν ἅπασαν περιενεχθέν. Διὰ θαύματος δ' ἤχθη καὶ τῷ βασιλεῖ, κἀκεῖσε τὸ τοιοῦτον δέρμ' ἀποκομισθέν, καὶ ταύτῃ γε προσενεχθέν. Ταυτὶ δὲ τοῦτον ἀποβάντα τὸν τρόπον ἐπέγνωμέν τε ἰδόντες, καὶ ἀκούσαντες ἔχομεν.*

*Ὑμῖν δ' ἀλλ' οὐ προσῆκεν οἰωνισμοῖς τε καὶ μαντεύμασι πεισθεῖσιν, ἔργοις οὖσι δαιμόνων, τοιαύτῃ ὀλεθρίῳ πράξει* ἐγχειρῆσαι. Εἰ μαντεύμασι καὶ οἰω-

---

17. Στερρᾶ... Πισθέντες. 17. Τοὐχείρημα.
18. Οἰονισμοῖς.
22. Οἰονισάμενος. Τωόντι.
25. ... Τωόντι. 26. Αὔτου.
27. ... Ἀποῤῥήξας. 29. Σκόλοπος τινος.
33. Ἀλλοῦ... *Οἰονισμοῖς.*

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2008

νισμοῖς κατωρθοῦτο τὰ τοιαῦτα, πολλοὶ ἂν ἐν ἡμέρᾳ μιᾷ βασιλεί(ας) ἠξιώθησαν. Οὐκ ἔστι δὲ ταῦτα οὐκ ἔστιν, ἀλλὰ πρὸς τῇ βοηθείᾳ καὶ δυνάμει τοῦ Θ(εο)ῦ, οὗ μὴ βουλομένου οὔτε οἶκος οἰκοδομεῖται οὔτε πόλις φυλάττεται, καὶ δυνάμεως δεῖ πολλῆς, καὶ συνέσεως οὐ σμικρᾶς, καὶ πείρας πραγμάτων οὐκ εὐκαταφρονήτου, συμβούλων τε πρὸς τούτοις ὡς καλλίστων, πολλῶν ἀν(θρώπ)ων ἄστη ἰδόντων καὶ τὸν νοῦν τουτωνὶ ἐπεγνωκότων. *Οὐ γὰρ ἄν(θρωπ)οι γεωργοί τε καὶ ποιμένες, βάναυσοί τε καὶ δυστυχεῖς καὶ οὐδεμίαν πεῖραν πραγμάτων ἔχοντες τοιαύτας πράξεις δύνανται κατορθοῦν. Πλὴν ἀλλ' ὑμεῖς τοῖς οἰωνισμοῖς τε καὶ μαντεύμασι τοῦ Διονυσίου καταπεισθέντες, μᾶλλον δ' ἀπατηθέντες καὶ ὑποκλαπέντες, ἐς τοῦτο θρασύτητος παρενεχθέντες ἥκετε, ὡς δοκεῖν καὶ αὐτὸν βασιλέα χειρώσασθαι ἤδη, καὶ τὸ αὐτοῦ διάδημα φορεῖν, καὶ ξυμπάσης ὁμοῦ τῆς οἰκουμένης κρατεῖν. Τοιοῦτόν τι ἄνοια καὶ θρασύτης μέθῃ συμπλακέντα, καὶ τοιαῦτ' ἀναπλάσματ' ἀποτίκτειν πέφυκ(εν), ἄθλιοι καὶ ταλαίπωροι καὶ μωρίας ἀνάπλεῳ.* Εἰ αὐτοὶ ἄπειροι καὶ ἀμέτοχοι τοιούτων πράξεων ἐτυγχάνετε ὄντες, καθ' ἃ δήπου
φ. 352α καὶ ἀμφιβολίας | οὐδεμιᾶς ἄνευ, ἄπειροι ἦτε, τοὺς γοῦν εἰδότας ἀκόλουθον ἦν ἐρωτῆσαι.

*Ἀλλ' ἦν ἡμῖν, φαίητ' ἄν, Διονύσιος καὶ γήρως ἁψάμενος ἤδη καὶ σοφίας, ὡς ἐκεῖνος ᾤετο καὶ ὑμεῖς ἐπιστεύετε, μετεσχηκώς, καὶ δὴ καὶ φιλόσοφος παρὰ πάντων καὶ ὑμῶν αὐτῶν οὐχ ἧττον ὀνομαζόμενος. Ναὶ δὴ παρ' ὑμῶν τῶν οὐκ εἰδότων ὅλως τί ἐστι φιλοσοφία, οὐδ' εἴ ἐστι φιλόσοφος ὁ Διονύσιος, καὶ ὅστις ἐκείνῳ παραπλήσιον ἐκαλεῖτο καὶ μάντις,* ὃν καὶ τὸν Ὁμηρικὸν ἐκεῖνον Κάλχαντα ὑπερακοντίζειν, ἴσως, ὑπελαμβάνετε, καίπερ εἰδότα *τά τ' ἐόντα, τά τ' ἐσσόμενα πρό τ' ἐόντα, καὶ νήεσσ' ἡγησάμενον,* ὥς φησιν ὁ ποιητής, *Ἴλιον εἴσω ἣν διὰ μαντοσύνην.* Καὶ Κάλχας μὲν τοιοῦτος ἦν ἀληθῶς, ἐπεὶ τοιούτοις ἡγήσατο, Διονύσιος δ' ἥκιστα πάντων. Εἰ γὰρ φιλόσοφος ἦν ὁ Διονύσιος καὶ τῷ Κάλχαντι παραπλήσιος, ὡς ὑμῖν τοῖς βαναύσοις ὑπελαμβάνετο, φιλοσόφως αὐτὸν ἔδει συλλογίσασθαι, καὶ ἐπιστημόνως ἅψασθαι τῆς ὑποθέσεως, καὶ τά τε ὄντα καὶ ἐσόμενα εἰδέναι καὶ αὐτόν, ἀλλὰ μὴ μαντεύμασι καὶ οἰωνισμοῖς μόνοις πειθόμενον ὑμᾶς αὐτοὺς καὶ ἑαυτὸν οὐδὲν ἧττον ἀποπλανᾶν τ' ἐξα-

---

1. Ἐκατορθοῦτο.
9. Οἰονισμοῖς.
13. Τοιουτόντι. 13. Θρασήτης.
15. Καθά.
18. Ἀψάμενος ᾤετο.
20. Οὐχ'. 22. .. Παραπλήσιος.
24. Τά τε ὄντα τά τ' ἐσόμενα προτεόντα. 27. Ἐπί.
29. Συλλογίσασθαι. 29. Ἄψασθαι.
30. Οἰονισμοῖς. 31. Ἀποπλανῶν τ' ἐξαπατῶν.

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2008

κατᾶν. Οὐ ταύτῃ γε φιλόσοφοι τῶν ὑποθέσεων, καὶ ταῦτα ὑπερφυῶν τε καὶ μεγάλων, ἅπτονται, ὦ οὗτοι, ἀλλ' ἐπειδὰν τὰς ἀρχὰς τῶν πραγμάτων σὺν πόνῳ πολλῷ δυνηθῶσιν εὑρεῖν, καὶ τὸ τέλος ἑκάστου ὅπως ἔσται σκοποῦσι. *Διονύσιος δὲ οὔτε τὴν ἀρχὴν τῆς ἧς ἥψατο ὑποθέσεως ἠδυνήθη εὑρεῖν, οὔτε μὴν τὸ τέλος αὐτῆς τὸ παράπαν ἐσκέψατο, ἀνθ' ὅτου καὶ δυστυχήσας ἐφάνη ὁ δυστυχής.*

*Θῶμεν ὅτι περιεγένεσθε τοῦ οὐ περιγενέσθαι ἠβουλήθητε ἐκ πρώτης οἷον συμβολῆς. Τί μετὰ τοῦτο ποιητέον ἐδόκει; Μὴ καὶ τῶν λοιπῶν ἁπάντων; Ἀλλ' οὐδεὶς ἂν εἴποι, εὖ φρονῶν. Πλὴν ἀλλ' εἰ δοκεῖ καὶ τοῦτο δοτέον. Μὴ καὶ τὸ βασίλειον αὐτὸ δι' ἐλπίδος ἦν ὑμῖν λαβεῖν; Τίνες ὄντες; Τίνα ἰσχὺν ἔχοντες; Τίνα σύνεσιν, ὦ ἀσύνετοι; Οἵτινες πρῶτον ἔργον, μᾶλλον δὲ οὐδ' ἔργον αὐτὸ καλεῖν χρὴ ἄθυρμα δέ τι, ἢ δαιμονισμόν, ἢ σεληνιασμόν, ἢ ἐμπληξίαν τινά, ἢ οὐκ οἶδ' ὅπως αὐτὸ καλέσω, μέθῃ ὑμᾶς αὐτοὺς καταβαπτίσαντες πρότερον, ταύτῃ γε τυχὸν τοῦ Διονυσίου ὑποθεμένου, πολεμεῖν ἀνεβάλλεσθε, ῥάβδοις τισὶν οὐτιδανοῖς καὶ φωναῖς ἀτάκτοις, λαγωὸν οἷόν τινα διώκοντες, ἢ ἀλώπεκα.* Εἰ δὲ τὸ πρῶτον ὑμῶν ἔργον ἐκ πρώτης οἷον ἀφετηρίας τοιοῦτον, τί ἐχρῆν περὶ τῶν ἄλλων ὑπολαβεῖν; ὧν γὰρ | αἱ ἀρχαὶ (κατὰ τὸν φιλόσοφον) ἀδόκιμοι, καὶ τὸ πᾶν δήπουθεν ἀδόκιμον. **φ. 352β**

*Πῶς ταῦτα, Διονύσιε, οὐκ ἐλογίσω, φιλόσοφος, καθ' ἅπερ ὑπὸ πάντων τῶν ἀμαθίᾳ συντεθραμμένων ἐνομίζου, καὶ μάντις ὤν; Διατί εἰς τοσοῦτον ὄλεθρον τὸν ἀμαθῆ καὶ ἁπλούστατον καθείλκυσας λαόν; Πῶς οὐκ ἐμαντεύσω, μαντικῆς ἀντιποιούμενος, τὴν σὴν ἀπώλειαν;* Μᾶλλον δέ, καὶ μαντικῆς ἡστινοσοῦν ἄνευ, πῶς οὐ συνεῖδες, οἷ κακῶν ἔμελλες κατελθεῖν τοιαῦτ' ἐπιχειρήσας πράγματα, οἷα τῶν ἀν(θρώπ)ων οὐδείς; *Εἰ δὲ καὶ σαυτοῦ ἀπέγνως ἢ κατέγνως, ὡς δήπου καὶ ἀπεγνωκὼς ἐτύγχανες πάλαι σαυτοῦ, σαυτὸν μόνον κατὰ κρημνῶν ἔδει βαλεῖν, μὴ μέντοι καὶ ἄλλοις τοσούτοις ἀπωλεί(ας) αἴτιον ὑπάρξαι.* Τίνα τὴν ἀπολογίαν ἄρα, τοσούτων ἐκ τῆς τοιαύτης αἰτί(ας) ἀπολεσθέντων καὶ δὴ καὶ τέλεσι ἀφανισθέντων, δώσεις, ἄθλιε, τῷ Θεῷ κριτῇ καθεζομένῳ; *Τὰ δάκρυα δὲ καὶ οἱ ἀναστεναγμοὶ τῶν ἀναιτίως πασχόντων ποῦ οἴει καταπεσεῖν; Οὐκ ἤρκει τοῖς Χριστιανοῖς, ἃ καθ' ἑκάστην ἔπασχόν τε καὶ πάσχουσι δεινά; Τί τὰ τραύματα τουτωνὶ αἴσχισθ' οὑτωσὶ κατέξανες; Ἀλλ' ἀπαλλαγὴν αὐτοῖς προυνόησας*

---

2. Ἐπειδ ἂν. 8. συμβουλῆς
9. Εἴπει.
13. Ἐμπληξιάν τινα.
19. Ἐλογήσω.
21. Καθήλκυσας. 22. Μαντικοῖς.
26. Βαλλεῖν.
27. Ἄρα.
32. Προυνοήσας . . . Προυνόησας Εἰκοσιφ. Πασχίδης σ. 96.

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2008

*προσεξευρηκέναι τῶν ὧν εἶχον κακῶν; Καὶ πῶς τοῦτ' οὐκ ἠδυνήθης ἐκτελέσαι ὅτε τὴν ἀρχὴν κατὰ Τρίκκην τοιοῦτόν τι ἐπειχείρησας, πλείστων ὅσων καὶ τότ' ἀπολεσθέντων ἀδίκως; Οὐκ ἦν εἰκὸς ἤδη εἰς πανέρημόν τινα τόπον πορευθέντα νύκτωρ καὶ μεθ' ἡμέραν κλαῦσαι σαυτὸν καὶ τὸν Θ(εὸ)ν ὑπὲρ τηλικούτων κακῶν ἐξιλεῶσαι σαυτῷ;* Οὐκ οἶδας ὡς καλὸν μὴ ἐγχειρεῖν ἐθέλειν ἐκείνοις τοῖς κίνδυνον οὐδὲν ἧττον τοῖς ἐγχειροῦσιν ἢ τοῖς δι' ὧν ἐγχειροῦσι φέρουσιν; Ἢ ἐβούλου καὶ καθ' ἡδονήν σοι ἦν πάντας ὑπαιτίους ποιῆσαι καὶ ἀποστάτας, ἀποστάτης καὶ ὑπαίτιος ὢν αὐτός; *Οὐκ ἤρκει δ' σοι πέπρακται εἰς Τρίκκην; Οὐχὶ ἱκανὸν ἦν τὸ ἐν Ῥώμῃ; Ὀλίγον ἐνόμιζες τὸ ἐν Ἱσπανίᾳ καὶ τὰ λοιπὰ πάντα, ἅ, πρὸς τὸ περιττὸν εἶναι, καὶ λέγειν αἰσχρόν; Τί καὶ τὸν τόπον τουτονί, μοναστηρίου διενηνοχότα οὐδ' ὁτιοῦν, διετάραξάς τε καὶ συνέχεας, καὶ ἀφανισμοῦ ἤγαγες ἐγγύς;*

*Οὐδένα τόπον εἴασας καθαρὸν τῶν σῶν αἰσχίστων τε καὶ φαύλων πράξεων. Τίνα σοι φλόγα δεινὴν ὑφάψειν οἴει τὰ τῶν πεφονευμένων δάκρυα; Τίνα τιμωρίαν ἀτελεύτητον οἱ τῶν χηρῶν καὶ τῶν ὀρφανῶν ἀναστεναγμοὶ προξενήσουσιν* φ. 353 α *ἐκεῖ.* Κρείττω οἶμαι καὶ τῆς τοῦ Ταντάλου καὶ τῆς τοῦ Ἰξίονος καὶ τῶν— ὅσοι τιμωρίᾳ παρεδόθησάν τε καὶ παραδοθήσονται. Οὐδενὶ γὰρ τὰ σὰ παραβαλλόμενα κακὰ ἴσα γένοιτ' ἄν. Οὗ δὴ χάριν καὶ τοιαύτην ἐκδέχου τιμωρίαν. Εἰ ἄλλοις τῆς κακίας μεταδοῦναι βουλόμενος ταύτης ἀπήλλαττες σαυτόν, τάχ' ἄν τινα λόγον εἶχέ σοι ἡ τοιαύτη ἐπίνοια· νυνὶ δὲ οὐχ ἥκιστα σαυτῷ ἢ τοῖς οἷς ἐβούλου μετέδωκας. Ὁρᾷς ὅσον κακὸν ἀβουλία καὶ τὸ οἴεσθαί τιν' εἰδέναι μηδὲν εἰδότα; Τὸ γὰρ οἴεσθαι τοῦ εἶναι πλεῖστον ὅσον ἀπεσχοίνισται. Πολλὴν δὴ οὖν εἰσπραχθήσῃ τιμωρίαν τοσούτοις ἀνελπίστοις δεινοῖς τοὺς ἀναιτίους ἡμᾶς ἐμβαλών. *Ἀλλ' ἴσως, εἴποις ἄν, ὡς ὑπὲρ αὐτῶν ἠγωνιζόμην, ὅπως τῶν ὧν ἔχουσι κακῶν αὐτοὺς ἀπαλλάξω. Οὐδαμῶς, ὦ ἀνόητε σύ. Τὸ μὲν γὰρ φαινόμενον τοιοῦτον ἦν, τὸ δὲ κεκρυμμένον ἄλλως εἶχε. Πλὴν ἀλλ' ἔστω, ὡς ἵνα τῶν δεινῶν αὐτοὺς ἀπαλλάξῃς ἠγωνίζου. Τί δήποτε καὶ ποῦ τελευτήσει τὸ σὸν παράλογον ἐγχείρημα οὐκ ἐλογίζου; Πῶς δ' ἐλάττους τῶν χιλίων ὄντες ὑμεῖς (οἱ πλείους γὰρ καὶ σχεδὸν πάντες, πλὴν ὀλίγων, κἀκείνων οὐτιδανῶν καὶ οὐδενὸς ἀξίων, οὐκ ἤθελον ὑπείκειν σοι) τοσαύτας μυριάδας, ὅσας οὐδ' ἀριθμῆσαι οἷόν τε, νενικήκατε ἄν;* Εἰ δὲ καὶ τὸ βασίλειον εἷλες αὐτό, ὅπερ, ὅσον τὸ ἐπὶ σοί, τοσοῦτον ἀδύνατον ἦν ὅσον ἐστὶν ἀμήχανον ἢ τὸν οὐ(ρα)νὸν γενέσθαι γῆν ἢ τὴν γῆν οὐ(ρα)νόν,

10. Ἰσπανία.
12. . . . ὁτοιοῦν.
18. Ἴσα γένοιτ . . . οὗ.
19. . . . ἀπήλλατες.
23. . . . εἰσπραχθήσῃ.
25. Ἠγονιζόλην.
28. Τελευτήσοι Εἰκοσιφ. Πασχίδης. 31. Οἷόν τε . . . ἐστιν.

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2008

τί ὠφέλησας ἂν τὸν λαόν; Εἰ γὰρ τῶν θλίψεων, ὡς αὐτὸς φής, ἀπήλλαξας, τοῦ μεγίστου τῶν ἀγαθῶν ἀπεστέρησας ἂν αὐτούς, καὶ τὴν παρὰ τοῦ Κ(υρίο)υ δοθεῖσαν αὐτοῖς παρακαταθήκην καθῄρηκας ἄν, ἐν τῷ κόσμῳ θλῖψιν ἕξειν ἐπαγγειλαμένου.

Πρὸς δὲ τοῖς εἰρημένοις, εἰ διὰ πολλῶν θλίψεων δεῖ ἡμᾶς, κατὰ τὴν τοῦ Παύλου φωνήν, εἰσελθεῖν εἰς τὴν βασιλείαν τῶν οὐ(ρα)νῶν, σὺ δ' ἀπήλλαξας τούτων τοὺς ἀν(θρώπ)ους, ἀπέκλεισας δήπου αὐτοῖς τὴν εἰς οὐ(ρα)νὸν φέρουσαν ὁδὸν καὶ μόνοις τοῖς κατὰ τὴν γῆν ἀγαθοῖς προστετηκέναι παρεσκεύασας αὐτούς. Καίτοι γε τίς δύναιτ' ἂν βίον ὁντιναοῦν πραγμάτων ἀπηλλαγμένον ἀποδεῖξαι; Εἶδές ποτε, πολὺν περινοστήσας κύκλον τῆς οἰκουμένης, ἥντιναοῦν πολιτείαν κακῶν ἀπηλλαγμένην, ἀνέσεώς τε καὶ εἰρήνης ἀπολαύουσαν βαθεί(ας); Οὐκ ἂν οὔτε σὺ οὔτε τις ἄλλος δυνηθείη ταυτί γ' ἀποδεῖξαι, οὐδ' ἂν εἰ τοὺς βασιλεῖς εἴποι. Οὗτοι γὰρ καὶ μᾶλλον τῶν ἄλλων πραγμάτων οὐκ εἰσιν ἀπηλλαγμένοι, καὶ τῶν ἄλλων ἀνιαρῶν· εἰ δ' ἡδονῶν καὶ βίου ἀπολαύουσιν ἁβροδιαίτου, ἀλλ' οὐδὲν αὐτοῖς ὄφελος ταυτὶ πρὸς τὸν μέλλοντα αἰῶνα. | Ὅσα δ' οὐ πρὸς τὸν αἰῶνα τὸν μέλλοντα φ. 353 β
φέρει τὸ κέρδος μάταια πάντως. Εἰ καλόν τι αἱ ἀνέσεις καὶ ἡδοναὶ Παῦλος ἂν καὶ οἱ κατ' ἐκεῖνον νοῦν ἔχοντες Χ(ριστο)ῦ κατεδίωξαν. Ὁρῶμεν δὲ τὰς θλίψεις μᾶλλον τῶν παρόντων ἀνταλλαξαμένους ἡδέων, καὶ τῶν σωματικῶν ἀνέσεων ταυτασὶ προτιμήσαντας, ἀφορῶντας εἰς τὸν τῆς πίστεως ἀρχηγὸν καὶ τελειωτὴν Ἰησοῦν. Ὧ καὶ σὲ καὶ πάντα βουλόμενον Χ(ριστο)ῦ εἶναι μαθητήν, ἕπεσθαι ἀκόλουθον ἦν, ἀλλὰ μὴ βασιλείας ἀπόλαυσιν ζητεῖν ἐθέλειν ἐπὶ τῆς γῆς. Εἰ συμφέρειν ἡμῖν ἤδη ὁ Κ(ύριο)ς τὸ ταύτην ἔχειν οὐκ ἂν ἀφείλετο δούς. Δοὺς δ' ἀφείλετο δι' ἃς εἴπομεν αἰτίας. Οὐκ ἤκουες τοῦ προφήτου λέγοντος, Κ(ύρι)ε, ἐν θλίψει ἐμνήσθημέν σου; Ὡς δηλαδὴ ἐν ἀνέσει οὐ μεμνήμεθα. Εἰ δέ πως καὶ μέμνηταί τις τοῦ Θ(εο)ῦ ἀνέσεως ἀπολαύων, ἀλλ' οὐχ οὕτως, ὡς ἐν θλίψει, μετὰ συντετριμμένης καρδίας, ἣν δήπου καὶ οὐκ ἐξουδενοῖ. Οὐδὲν οὖν ἐκ τοῦ τῶν θλίψεων ἀπαλλαγῆναί τις ἀπόναιτο, ὡς βλαφθείη ἂν τὰ μέγιστα. Εἰ ταῦθ' οὕτως ἐλογίζου, οὐκ ἂν ὅπερ σοι πέπρακται διεπράχθη. Ἀνθ' ὧν καὶ πᾶς τις μάλα γ' ἐν δίκῃ φρενῶν σ' ἐκπεπτωκέναι εἴποι ἂν καὶ οὐδεμίαν σοι ἐνεῖναι συνέσεως ῥανίδα. Πλὴν ἀλλ' εἰ τοῦτό σοι δι' ἐφέσεως ἦν, τὸ τὰς θλίψεις ἐκποδὼν γενέσθαι ποιῆσαι, καὶ πᾶσαν ἀντεισαγαγεῖν ἄνεσιν, ἐκεῖνα ποιῆσαι δέον ἦν, οὐ

---

1. Ὠφέλισας . . . φῆς.
3. Καθήρηκας. . . . θλίψιν.
10. Εἶδες ποτέ.
11. Ὀντιναοῦν . . . ἀπηλλαγμένων.
12. Οὔτέ τις. 14. Οὐκ εἰσίν.
17. Παῦλον— . . ἀρχιγὸν . . Ἔπεσθαι. 31. ἐνῆναι.
33. Ἀντ εἰσαγαγεῖν . . .

Ε.Υ.Δ. της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2008

δι' ὧν ἐπιτεῖναι, ἀλλ' ὑφ' ὧν ὑφεῖναι τὰς θλίψεις τοῖς ἀν(θρώπ)οις. Σὺ δὲ πρὸς τῷ μηδὲν λωφῆσαι ταυτασὶ ποιῆσαι, καὶ εἰς μέγα ἐπιδοῦναι γέγονας αἴτιος, τῷ ἀσκόπως καὶ λογισμοῦ τινος ἄνευ ὑγιοῦς ἐπιβαλέσθαι βουληθῆναι. Τουτὶ δὲ πέπονθας, κακοῖς, ὡς ἔφθην εἰπών, χρησάμενος συμβούλοις.

*Οὐ μετὰ φιλοίνων ἀ(νθρώ)πων, κολάκων τε πρὸς τούτοις καὶ ἔτι νέων, καὶ δὴ καὶ τινων ἀργίᾳ μᾶλλον ἐφηδόμενων ἢ τῷ ἐργάζεσθαι, συμβουλὴν τοιαύτην κίνδυνον ἔχουσαν, ὅσον οὐκ ἔνι εἰπεῖν, ποιήσασθαι δέον ἦν, ἀλλὰ τοῖς μηδὲν τοιοῦτον ἔχουσι τὸν λόγον κοινῶσαι. Οἷς γὰρ ἐχρήσω συμβούλοις, πενίᾳ δεινῇ πιεζόμενοι, καὶ ἀργοὶ διὰ βίου περινοστεῖν ἐθέλοντες, ὡς ἂν ποῦ πότοι καὶ συμπόσια γίνονται περιεργάζοιντο καὶ ἄλλοις τισὶ τῶν ἀθεμίτων ἐπακολουθεῖεν, οὐδὲν ἂν τῶν ἀγαθῶν συμβουλεύσαιεν.* Εἰ γάρ τις τὸν κύνα τί αἱροῖτο μᾶλλον ἔροιτο, πότερον ζῆν τὰ ζῷα καὶ ἐργάζεσθαι ἢ ἀπόλλυσθαι, τὸ δεύτερον ἕλοιτ' ἂν μᾶλλον ἢ τὸ πρῶτον. Οὐ γάρ οἶδε πρὸ τοῦ ἰδίου τὸ κοινὸν συμφέρον τιθέναι ὁ κύων, ἀργὸς βουλόμενος εἶναι καὶ τῶν
φ. 354α τελευτώντων ζῴων ἐμφορεῖσθαι. *Οὐ | δ' ὁτιοῦν τουτουὶ διενηνοχότες ἦσαν οἷς ἐχρήσω συμβούλοις ἐν τοιαύτῃ ὑπερφυεῖ ὑποθέσει. Εἰ δὲ καί τις οὐ τοιοῦτος τυχὸν ἦν αὐτῶν, ἀλλ' ἀμαθίᾳ κἀκεῖνος καὶ ἀπειρίᾳ τοιούτων πραγμάτων ἐπήρθη, κεπφωθεὶς τοῖς σοῖς ἀπατηλοῖς καὶ αἱμυλίοις λόγοις, ὦ ψευδόμαντι σύ.* Ὥστε σοί ἄν τις μόνῳ, μάλα γ' ἐν δίκῃ, πᾶν τὸ ἁμάρτημα φέρων περιάψειεν ὡς ἀγύρτῃ καὶ ἀπατεῶνι.

*Μεῖζον κακὸν τῷ ὄντι τοὺς Χριστιανοὺς ἐποίησας. Αἰχμαλωσίαν γὰρ πρὸς τῇ αἰχμαλωσίᾳ, καὶ τραύματα πρὸς τοῖς τραύμασι πεποίηκας. Τὸ δὲ χεῖρον, καὶ τῆς ζωῆς τοὺς πλείους τουτωνὶ στερηθῆναι κατέστης αἴτιος. Ἀλλὰ καὶ οἱ περιλειφθέντες οὐδὲν ἄμεινον τῶν τεθνηκότων διάκεινται, ἡμιθνῆτες ὥσπερ τῇδε κἀκεῖσε περινοστοῦντες. Ποῖ πορεύσονται χειμῶνος ἤδη, ὦ ἀνόητε σύ; Αἱ οἰκίαι τουτωνί, τῶν μὲν ἀνετράπησαν αὐτοῖς θεμελίοις, τῶν δὲ κατενεπρήσθησαν ὑπὸ τῶν ἀτιθάσων τυράνν(ων), οἷς φέρων παρέδωκας τὸ δεύτερον αἰχμαλώτους. Τὰ ὑπάρχοντα τούτοις, ἃ μὲν ἀπώλετο, ἃ δὲ διηρπάγησαν, μικροῦ δέ τινες τῷ δέει καὶ τῇ δειλίᾳ καὶ τῇ λοιπῇ κακοπαθείᾳ, πρὸς τῇ γυμνότητι, ἐναποθανόντες εἰσίν. Ὁρᾷς οἷ κακῶν κατήνεγκας αὐτοὺς καὶ ἡμᾶς οὐδὲν ἧττον, ἀντὶ τοῦ τῶν δεινῶν ἀπαλλάξαι; Νῦν ἐν τοῖς*

---

7. ἀργεία . . . τό. 10. πενία δεινή
12. Κῦνα . . . 13. ἀπόλυσθαι.
16. Ὁτοιοῦν τουτονὶ
20. Ψευδόμαντις.
22. Μεῖζων . . . Τωόντι.
26, Παρὰ Πασχίδη Εἰκοσ. λείπει τὸ ὥσπερ.—Κἀκεῖσε.
28. Ἀτιθάσσων.
30. Τῷ δέ.—Πασχ. Εἰκοσ. τῷ δέει.

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2008

*δεινοῖς εἰσι. Νῦν ἀληθῶς ἐπέγνων ὡς ἃ εἶχον πρότερον κακὰ οὐδὲν ἦν πρὸς ἃ νῦν ἔχουσι, σοί γε πεισθέντες κακῶν ἁπάντων ἐλευθερί(ας) τυχεῖν. Νῦν ᾔσθοντο πρῶτον ὡς κακὸν ἐπανάστασις, καὶ τὸ μικροὺς μείζοσι, καὶ ἰσχυροτέροις ἀδυνάτους, καὶ ὀλίγους πλείοσι πολεμεῖν ἐθέλειν. Νῦν ἀπώλοντο πάμπαν, πάνθ' ὅσα ἦν αὐταῖς ἀπολέσαντες. Καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ τὴν ζωὴν αὐτήν, αὐτοῖς γυναιξὶ καὶ παισίν, ἔνιοι ἀπώλεσαν. Ὧν τοὺς μὲν κατέσφαξαν ἀλόγων ζῴων δίκην, τοὺς δ' ὅσον οὐδέ πω μέλλουσιν, ἄλλους δὲ δεινοτάτῃ παρέδωκαν αἰχμαλωσίᾳ οἱ εἰς τὸ τυραννεῖν προθύμως ἔχοντες, καὶ Χριστιανῶν ἐκχέειν αἷμα θερμότατοι. Οἱ πλείους δὲ τούτων, πρὸς τὰς βασάνους δειλιάσαντες, καὶ δὴ φιλοψυχήσαντες, τέλεον ἐξωμόσαντο, τὸν Χ(ριστὸ)ν ἀρνησάμενοι. Πρότερον δέ, εἰ καὶ τοῖς δεινοῖς συνῆσαν, θλίψεις τ' οὐκ ὀλίγας εἶχον, περὶ τὴν πίστιν δ' ὅμως ὑγιῶς εἶχον· καὶ οἱ μὲν ἑκόντες, οἱ δ' ἄκοντες ἔφερον ἃ ἦν αὐτοῖς δεινά, Χ(ριστὸ)ν καὶ τὴν πίστιν αὐτοῦ ἀντὶ πάντων ἔχοντες παραμύθιον. Νυνὶ δὲ καὶ τουτουὶ τἀγαθοῦ ὡς πλεῖστοι διὰ ταύτην τὴν αἰτίαν ἐστέρηνται. Οἴει δὴ οὖν ἀνέσεως ἡστινοσοῦν τυχεῖν ποτε, ταύτῃ γε τὸ γένος τὸ ἡμέτερον διαθέμενος, ταῖς σαῖς κακίσταις συμβουλαῖς τε καὶ ἀπάταις;*

Παραμυθεῖσθαι καὶ γενναίως φέρειν τὰ δεινά, οὐκ ἐπανίστασθαι, φ. 354β
παραινεῖν αὐτοῖς προσῆκε, Διονύσιε, καὶ τιμᾶν τοὺς βασιλεῖς παρὰ Θ(εο)ῦ δοθέντας, οὐκ ἀντιτάσσεσθαι τούτοις νουθετεῖν ἐχρῆν. Εἰ γὰρ μὴ πρὸς Θ(εο)ῦ ἦσαν δεδομένοι, καὶ ἀσεβεῖς ὄντες, οὐκ ἂν ἵστασθαι ἠδύναντο. Οὐδὲν γὰρ μὴ βουλομένου Θ(εο)ῦ δυνατὸν ἵστασθαι. Τοῦ Θ(εο)ῦ δὲ τούτους ἡμῖν ἐπιστήσαντος δι' ἃς οἶδεν αἰτίας, ἡμῖν μὲν ἀδήλους ἐκείνῳ δὲ καὶ πάνυ ἐκδήλους, φέρειν ἀνάγκη. Ἃ γὰρ τῷ Θ(ε)ῷ βουλητὸν ἀγαπᾶν ἡμᾶς χρή, καὶ μὴ ἀφηνιάσαντας ἀτακτεῖν. Οὐ μὴν ἀλλά, εἰ καὶ τοὺς ἡμετέρους τούτοις παραβάλλοιτό τις, ἐπιεικεστέρους, οἶμαι, τούτους ἐκείνων καὶ ταπεινοτέρους μακρῷ εὕροι ἄν, δικαιοτέρους τ' ἔτι μᾶλλον καὶ καλλίους, χωρίς φημι τῆς ἀσεβεί(ας), ἥτις τοὺς ἔχοντας βλάπτει μόνον, καὶ τοὺς οὐ προσέχοντας τῶν ἡμετέρων ἐνίους, οἵτινες καὶ τῆς ἀσεβεί(ας) χωρίς, ἀσεβεῖς τῷ ὄντι, ὡς ἐμαυτὸν πείθω, εἰσίν. Οὐδεὶς γὰρ ἀπωλεί(ας) μὴ ὢν υἱὸς δύναιτ' ἂν βλάβην ἡντιναοῦν ὑποστῆναι παρ' ὁτουοῦν. Πόσοι τῇ κλήσει οὐκ ὄντες ἀσεβεῖς, τοῖς ἔργοις τὴν πίστιν ἤρνηνται, καὶ εἰσὶ χείρους τῶν ἀπίστων, καθ' ἅ που καὶ Παῦλος φησίν; Πλὴν ἀλλὰ τούτων περὶ τοσοῦτον ἀρκεῖν

8. Δεινωτάτη.—Πασχιδ. Εἰκοσ. δυνατωτάτη παρέδωσαν . . .
10. ἐξομώσαντο.
12. Εἰ. — Εἰκοσ. Πασχ. οἱ δ'.
14. Τουτονί. Εἰκοσ. Πασχιδ. ταυτουί.
22. Τούτοις.
30. Τῷ ὄντι.
31. Ἡντινονοῦν . . καθάπου.

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2008